ῥυέντος αἵματος οἱ θεώμενοι Πάναιμα θαυμάζοντες ἐκά-
λουν; τῶν δ' ἐλεφάντων ἀποθανεῖν τινες λέγονται περὶ
τὸ Φλοιὸν καὶ τὰ ὀστᾶ δείκνυται αὐτῶν· τινὲς δὲ λέγουσι
καὶ τὸ Φλοιὸν ὑπ' ἐκείνων ῥαγῆναι, φθεγγομένων μέγα τι
καὶ διάτορον.

**57.** 'Ἀπὸ ποίας αἰτίας ὁ ἀνδρὼν ἐν Σάμῳ πεδήτης
καλεῖται;' τῶν γεωμόρων ἐχόντων τὴν πολιτείαν μετὰ
τὴν Δημοτέλους σφαγὴν καὶ τὴν κατάλυσιν τῆς ἐκείνου
μοναρχίας οἱ Μεγαρεῖς Περινθίοις ἐπεστράτευσαν ἀποί-
F κοις οὖσι Σαμίων, πέδας κομίζοντες ὡς λέγεται ἐπὶ τοὺς
αἰχμαλώτους. ταῦτα δ' οἱ γεωμόροι πυνθανόμενοι βο-
ήθειαν ἔπεμπον κατὰ τάχος, στρατηγοὺς μὲν ἀποδεί-
ξαντες ἐννέα, ναῦς δὲ πληρώσαντες τριάκοντα. τούτων
304 ἐκπλέουσαι δύο πρὸ τοῦ λιμένος | ὑπὸ κεραυνοῦ διεφθάρη-
σαν· οἱ δὲ στρατηγοὶ ταῖς ἄλλαις πλεύσαντες ἐνίκων τοὺς
Μεγαρέας καὶ ζῶντας αὐτῶν ἔλαβον ἑξακοσίους. ἐπαρ-
θέντες δὲ τῇ νίκῃ διενοοῦντο καταλύειν τὴν οἴκοι γεω-
μόρων ὀλιγαρχίαν. ἀφορμὴν δὲ παρέσχον οἱ προεστῶτες
τῆς πολιτείας, γράψαντες αὐτοῖς ὅπως τοὺς αἰχμαλώτους
τῶν Μεγαρέων κομίσωσι ταῖς αὐτῶν ἐκείνων πέδαις
δεδεμένους. λαβόντες οὖν τὰ γράμματα ταῦτα καὶ δεί-
B ξαντες κρύφα τισὶ τῶν Μεγαρέων ἔπεισαν αὐτοὺς συ-
στῆναι μεθ' αὐτῶν καὶ τὴν πόλιν ἐλευθερῶσαι· βουλευο-
μένοις δὲ κοινῇ περὶ τῆς πράξεως ἔδοξε τῶν πεδῶν τοὺς
κρίκους διακροτῆσαι, καὶ περιθέντας οὕτω τοῖς σκέλεσι
τῶν Μεγαρέων ἀναλαβεῖν πρὸς τὰς ζώνας ἱμᾶσιν, ὅπως
μὴ περιρρέωσι μηδ' ἐκβαίνωσιν αὐτῶν ἐν τῷ βαδίζειν
χαλαρῶν γενομένων. οὕτω δὲ τοὺς ἄνδρας ἐνσκευάσαντες
καὶ ξίφος ἑκάστῳ δόντες, ἐπεὶ κατέπλευσαν εἰς Σάμον

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/371 UNIVERSITÄT LEIPZIG